www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# Ἀκολουθία τῆς Ἁγίας ἐνδόξου Μεγαλομάρτυρος καὶ Ἰσαποστόλου Φωτεινῆς τῆς Σαμαρείτιδος*

Ψαλλομένη τῇ 26ῃ Φεβρουαρίου

Ποίημα Γερασίμου Μικραγιαννανίτου

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Τὸ ὕδωρ ζωῆς τῆς ἀληθοῦς, ἐκ Χριστοῦ ὡς ἤντλησας, τοῦτον εὑροῦσα καθήμενον, παρὰ τῷ φρέατι, ἐν τῇ ἕκτῃ ὥρα, τοῖς ἐν κόσμῳ ἔβλυσας, τῆς θείας ἐπιγνώσεως νάματα, ἐνθέῳ στόματι, Φωτεινὴ Θεομακάριστε, καὶ ἀνδρείοις, ἄθλοις ἠνδραγάθησας.

Τὴν κλῆσιν λαβοῦσα ἐκ Χριστοῦ, φερωνύμως ἔλαμψας, Εὐαγγελίου, ταῖς χάρισι, καὶ καθωδήγησας, τῷ φωτὶ Κυρίου, τὴν τῶν ὁμαιμόνων σου, πεντάδα καὶ δυάδα τῶν τέκνων σου, μεθ' ὧν καὶ ἤθλησας, Ἰσαπόστολε φωτώνυμε, καὶ τὴν πλάνην, τῶν εἰδώλων ᾔσχυνας.

Φωτὶ τοῦ κηρύγματος σεμνή, Φωτεινὴ θεόληπτε, ὡς Ἀποστόλων ὁμότροπος, κόσμῳ ἐκλάμπουσα, μαρτυρίου ἄθλοις, ἀνδρικῶς ἠρίστευσας, ὁμοῦ σὺν τοῖς φιλτάτοις οἰκείοις σου, καὶ ὡμολόγησας, τοῦ Χριστοῦ τὸ μέγα ὄνομα, ἀνενδότοις, πόνοις ὁμιλήσασα.

Καλλίνικοι Μάρτυρες Χριστοῦ, Φωτεινὴ θεόληπτε, Παρασκευὴ ἀεισέβαστε, Φωτὶς θεόνυμφε, καὶ Φωτὼ θεόφρον, Φωτεινὴ πανένδοξε, καὶ Σεβαστιανὲ θεοτίμητε, Κυριακὴ σεμνή, Ἰωσῆς ὁ καρτερόψυχος, δυσωπεῖτε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

---

(*) Ἐν τῇ ἑορτῇ ταύτῃ λαμβάνομεν ὡς ὁδηγὸν τὴν τυπικὴν διάταξιν τῆς ἑορτῆς τῶν Ἁγίων Τεσσαράκοντα Μαρτύρων.

www.tezaurliturgic.ro

**Δόξα... Ἦχος δ΄.**

Τὴν πηγὴν τῆς ζωῆς, ἐν τῇ ψυχῇ δεξαμένη, τὸ ὕδωρ τὸ ἀλλόμενον, εἰς ζωὴν αἰώνιον, ἔβλυσας τῷ κόσμῳ, Φωτεινὴ Ἰσαπόστολε· τοῦ Εὐαγγελίου γὰρ τῆς χάριτος, κήρυξ ὤφθης διαπρύσιος, καὶ τῷ φωτὶ τῆς γνώσεως Χριστοῦ, τοὺς ἐν σκότει καὶ σκιᾷ ἀπάτης κατηύγασας· καὶ μαρτυρικοῖς παλαίσμασι, καταγωνισαμένη τὸν ἀντίπαλον, ἀθλητικῶν βραβείων ἠξίωσαι, σὺν τοῖς υἱοῖς καὶ συγγόνοις ἀριστεύσασα· μεθ᾿ ὧν πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν Θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων...

**Ἀ π ό σ τ ι χ α.**

**Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Γνῶσιν παρὰ Χριστοῦ, τὴν θείαν δεξαμένη, καρδίᾳ εὐθυτάτῃ, φωτὸς ἐπλήσθης θείου, ὦ Φωτεινὴ φερώνυμε.

**Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῆς...**

Στόματι ἱερῷ, τὴν σάρκωσιν Κυρίου, ἐκήρυξας τῷ κόσμῳ, καὶ ἤθλησας ἀνδρείως, θεόφρον Ἰσαπόστολε.

**Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

Δῆμος περιφανής, ὀκτάριθμος Μαρτύρων, ὑμνείσθω ἐπαξίως, ὧ ἔξαρχος τυγχάνει, ἡ Φωτεινὴ ἡ ἔνδοξος.

**Δόξα... Τριαδικόν.**

Ἕνα σε τοῦ παντός, Θεὸν καὶ Βασιλέα, Τριὰς Ὑπεραγία, ἐκήρυξε τοῖς πᾶσιν, ἡ Φωτεινὴ Φιλάνθρωπε.

**Καὶ νῦν... Θεοτοκίον.**

Εἶδες μετὰ σαρκός, τὸν ἐκ Παρθένου Κόρης, τεχθέντα Θεὸν Λόγον, καὶ παρ᾿ αὐτοῦ ἐκλήθης, πρὸς πίστιν τὴν σωτήριον.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.**

Ὡς κατεῖδες ἐν φρέατι, τὸν Μεσσίαν καὶ Κύριον, παρ' αὐτοῦ εἰσδέδεξαι γνώμῃ κρείττονι, τῆς ἀληθείας τὴν ἔλλαμψιν, ὡς ὕδωρ ἀλλόμενον, εἰς αἰώνιον ζωήν, καὶ φωτὸς πλήρης γέγονας, καὶ φῶς ἔλαμψας, καταλλήλως τῇ σῇ προσηγορίᾳ, Φωτεινὴ Μεγαλομάρτυς, τῆς ἀληθοῦς ἐπιγνώσεως.

Ταῖς ἀκτῖσι τῶν λόγων σου, Φωτεινὴ Ἰσαπόστολε, πρὸς τὸ φῶς ὡδήγησας τὸ τῆς πίστεως, Χριστοῦ τοῦ πάντων Δεσπόζοντος, πεντάδα τὴν πάνσεμνον, τῶν συγγόνων σοφῶς, καὶ δυάδα τὴν ἔνδοξον, τὴν τῶν τέκνων σου, καὶ σὺν τούτοις ἀθλήσασα ἀνδρείως ἐθριάμβευσας τῆς πλάνης, τὸ ἀσθενές τε καὶ μάταιον.

Ἀποστόλων ὁμότροπος, στερροτάτῳ φρονήματι, καὶ τῇ δεδομένῃ σοι Μάρτυς χάριτι, ὡς ἀληθῶς ἐχρημάτισας, καὶ πᾶσιν ἐκήρυξας, τὴν ἐν γῇ μετὰ σαρκός, τοῦ Χριστοῦ ἐπιφάνειαν, θείῳ λόγῳ σου, Φωτεινὴ καὶ ἐν πόλει Καρθαγένης, φυτοκόμος εὐσεβείας, περιφανὴς ἀναδέδειξαι.

Ὡς παρέστης τῷ βήματι, Φωτεινὴ τῷ τοῦ Νέρωνος, σθένος τὸ οὐράνιον ἔνδον ἔχουσα, ἀνδρειοφρόνως διήλεγξας, αὐτοῦ τὴν ἀσέβειαν, καὶ ὑπέστης καρτερῶς, πολυώδυνα βάσανα, ὡς ἀσώματος, Φωτεινὴ σὺν υἱοῖς σου τοῖς ἁγίοις, καὶ ταῖς θείαις ἀδελφαῖς σου, μεθ' ὧν λαμπρῶς ἠνδραγάθησας.

Καὶ τὰς χεῖρας τεμνόμενοι, καὶ εἱρκτῇ συγκλειόμενοι, καὶ πληγαῖς καὶ μάστιξι δαπανώμενοι, καὶ ἐν καμίνῳ ῥιπτόμενοι, καὶ γνώμῃ παράφρονι, τὴν τοῦ σώματος δοράν, ἀπηνῶς ἀφαιρούμενοι, ἀπερίτρεπτοι, καὶ ἀήττητοι ὤφθητε ἐν πᾶσι, Φωτεινὴ Μεγαλομάρτυς, σὺν τοῖς ἁγίοις συνάθλοις σου.

Ὡς λαμπρὰς φωτοπάροχος, Φωτεινὴ Ἰσαπόσολε, οἷα ἄστρα φαίνοντα ἔχεις κύκλῳ σου, τοὺς μετὰ σοῦ ἀριστεύσαντας, Φωτίδα Παρασκευήν, καὶ Φωτὼ Κυριακήν, Ἰωσῆν Φωτεινὸν ὁμοῦ, τοὺς θεόφρονας,

www.tezaurliturgic.ro

σὺν αὐτοῖς Σεβαστιανὸν τὸν θεῖον, καὶ τὸ φῶς τῆς ἀφθαρσίας, κόσμῳ ὁμοῦ συνεκλάμπετε.

Δόξα... Ἦχος πλ. β΄.

Σήμερον φωτοφανὴς ἀνέτειλεν, ἡ σὴ ἁγία μνήμη, Φωτεινὴ Ἰσαπόστολε, τὸ φῶς τῆς εὐσεβείας, τῷ κόσμῳ πυρσεύουσα. Ὅθεν πρὸς τὴν λάμψιν αὐτῆς, Προφητικῶς συνελθόντες, τὰ φωταυγῆ σου ἆθλα γεραίρομεν, καὶ χαρμοσύνως βοῶμέν σοι· χαίροις ἡ τῆς ἀθανασίας τὴν πηγήν, παρὰ Χριστοῦ ἀμέσως πλουτήσασα, καὶ τὸ ὕδωρ τῆς χάριτος, τοὺς διψῶντας ποτίσασα· χαίροις Ἀποστόλων ὁμόζηλε, καὶ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ὑποφῆτις ἀληθής· χαίροις ἡ ἐν γυναικείᾳ φύσει, ὑπερφυεῖς ἀγῶνας ἀνύσασα, σὺν ταῖς σαῖς ὁμαίμοσι, καὶ τοῖς διττοῖς υἱοῖς σου. Μεθ' ὧν πρέσβευε, τῷ Ἀθλοθέτῃ καὶ Στεφοδότῃ Χριστῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, Σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.**

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**

**(Κεφ. [Μασ.] λα΄, 10 - 26).**

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι κα-

www.tezaurliturgic.ro

λόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

**(Κεφ. γ΄, 1).**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

**(Κεφ. ε΄, 15).**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης·

www.tezaurliturgic.ro

ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομίαν, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.**

Εὐφράνθης τῷ πνεύματι, ἐκ τοῦ στόματος Χριστοῦ, εὐαγγελισθεῖσα ἐν πίστει, σωτηρίαν αἰώνιον, Φωτεινὴ Ἰσαπόστολε. Ὅθεν τοῦ πλούτου τῆς χάριτος, καὶ τῆς ἐν Θεῷ υἱοθεσίας, ὧν ἐτρύφησας ἀγαθῶν, τοῖς πᾶσι μετέδωκας, ἐν εὐφροσύνῃ βοῶσα· Δεῦτε πάντες καὶ φωτίσθητε, τοῦ Εὐαγγελίου τῷ φωτί· Χριστὸς γὰρ ἐπέφανεν, ὁ προσδοκώμενος Μεσσίας, παρέχων κόσμῳ ἀπολύτρωσιν· καὶ τὴν γενομένην σωτηρίαν, ἀποστολικῶς κηρύξασα, μαρτυρικῷ τέλει, πρὸς αὐτὸν ἐξεδήμησας· ὃν πρέσβευε δεόμεθα, τὸν νοῦν ἡμῶν φωτισθῆναι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἦχος β΄.**

Ἀποστολικῷ ζήλῳ κοσμουμένη, τῆς κατ' αὐτοὺς πορείας ἐκοινώνησας, ὡς τῆς χάριτος συμμέτοχος, Φωτεινὴ θεόσοφε· τῆς εὐσεβείας γὰρ τὸ μέγα μυστήριον, ἐν δυνάμει λόγου ἐκήρυξας, καὶ ἐν ἔργοις πίστεως, θαυμαστῶς ἐβεβαίωσας· ὡς λαμπρὰς γὰρ φαεινή, ἐκ Σαμαρείας ἐξῆλθες, καὶ τὸν Ἥλιον τῆς δικαιοσύνης, ἐσκοτισμένοις εὐηγγελίσω λαοῖς, ἐπιφανέντα ἡμῖν, σαρκὸς ὁμοιώματι, καὶ σώζοντα τοὺς εἰς αὐτὸν πιστεύοντας.

**Ἦχος γ΄.**

Τὴν κλῆσιν τοῖς ἔργοις σημαίνουσα, τῷ θαυμαστῷ φωτὶ ἐφώτισας, τῆς γνώσεως Χριστοῦ, τὴν τῶν ἀδελφῶν σου πεντάδα, καὶ τῶν υἱῶν τὴν ξυνωρίδα, Φωτεινὴ φωτὸς τοῦ θείου Ἀπόστολε· εἶδον γὰρ ἐν σοὶ ὡς ἐν ἐσόπτρῳ, τοῦ Τρισηλίου φωτὸς τὴν ἔλλαμψιν, ἔργῳ καὶ λόγῳ ἐκλάμπουσαν· μεθ' ὧν σοφίᾳ τῇ ἄνωθεν, καὶ ψυχῆς στερρότητι, τὸ σωτήριον κήρυγμα κηρύττουσα, μαρτυρικοὺς ἀγῶνας ὑπῆλθες, καὶ τὴν καλὴν ὁμολογίαν, σὺν αὐτοῖς ἐδόξασας· μεθ' ὧν καὶ δοξασθεῖσα ἐν οὐρανοῖς, ἱκέτευε ὑπὲρ τῶν τιμώντων σε.

www.tezaurliturgic.ro

Ἦχος δ'.

Τοῦ Εὐαγγελίου τῆς εἰρήνης, τὰ οὐράνια δόγματα, καὶ τὰ ἀληθῆ ἀγαθά, ἐν Καρθαγένῃ γεωργοῦσα, πλείστας ψυχὰς Χριστῷ προσήγαγες, ἐκ τῶν χειρῶν τοῦ ἀλλοτρίου, αὐτὰς ἁρπάσασα, Φωτεινὴ Ἀποστόλων ἰσάμιλλε· καὶ ἀπτοήτως παραστᾶσα τῷ Νέρωνι, σὺν πᾶσιν τοῖς οἰκείοις σου, ὑπερφυῶν ἄθλων σὺν αὐτοῖς, στάδιον διήνυσας, ἀνωτέρα δειχθεῖσα, καὶ πυρὸς καὶ σιδήρου. Ἀλλ' ἐν ἄθλοις ἀήττητος, καὶ ἐν θαύμασι περιφανής, πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα... Ὁ αὐτός.

Τὴν τοῦ φωτὸς ἐνώνυμον, ὡς παρὰ Χριστοῦ λαβοῦσαν τὴν κλῆσιν, καὶ ἐν Μάρτυσι περίδοξον, Φωτεινὴν τὴν Ἰσαπόστολον, ἀσματικοῖς ἐγκωμίοις, χαρμονικῶς τιμήσωμεν· Χριστῷ γὰρ συνομιλήσασα, καὶ παρ' αὐτοῦ δεξαμένη τὴν ἀποκάλυψιν, ἐπάξιον τῇ δωρεᾷ, βίον καὶ τρόπον ἐπεδείξατο, ἔξω κόσμου καὶ σαρκός, ἐξ αὐτῆς γενομένη· καὶ ἀθλητικοῖς σκάμμασιν, ὑπὲρ ἥλιον λάμψασα, αἰτεῖται ταῖς ψυχαῖς ἡμῶν, φωτισμὸν καὶ εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν... Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ φωτοφόρος λαμπάς, φωτὸς τοῦ θείου φερωνύμως ἀνάπλεως, ἡ πάντας φωταγωγοῦσα, ταῖς τῶν χαρίτων αὐγαῖς, καὶ φωτὶ τῆς θείας ἐπιγνώσεως, σεμνὴ Ἰσαπόστολε, Φωτεινὴ ἀεισέβαστε, πάμφωτον σκεῦος, δωρεῶν τῶν τοῦ Πνεύματος, ὧν πεπλήρωσαι, τῷ Χριστῷ ὡς πεπίστευκας· ὅθεν ἐκ τοῦ πληρώματος, τῆς θείας σου χάριτος πᾶσι μετάδος ἀκτῖνα, τοῖς ἐκτελοῦσι τὴν μνήμην σου, Χριστὸν δυσωποῦσα, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῆς...

Χαίροις ἡ τὸν Σωτῆρα Χριστόν, ἐπὶ τοῦ φρέατος εὑροῦσα καθήμενον, καὶ τούτου διδασκαλίας, εἰσδεξαμένη τὸ φῶς, λαμπρῶς ἐφωτίσθης τὴν διάνοιαν· ἐντεῦθεν κατάλληλον, καὶ τὴν κλῆσιν ἐπλούτησας, καὶ

www.tezaurliturgic.ro

Ἀποστόλων, ἰσοστάσιος πέφηνας, τῷ κηρύγματι, καὶ τῷ ζήλῳ τῆς πίστεως. Ὅθεν ὡς Ἰσαπόστολον, σοφὴν καὶ περίδοξον, σὲ Φωτεινὴ εὐφημοῦμεν, καὶ Ἀθληφόρον ἀήττητον, Χριστὸν δυσωποῦσαν, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

**Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

Χαίροις ὁ τῶν Μαρτύρων χορός, ὧν προεξάρχει Φωτεινὴ ἡ θεόληπτος, Φωτώ τε Φωτὶς θεόφρων, Παρασκευὴ ἡ σεμνή, καὶ Κυριακὴ ἡ ἀεισέβαστος, ὁμοῦ Ἰωσῆς τε, καὶ Φωτεινὸς ὁ τρισόλβιος, ἴσοι τὴν γνώμην, ὡς αὐτάδελφοι σύμφρονες, Σεβαστιανός, ὁ ἐν πᾶσι περίβλεπτος, Μάρτυρες θεοδόξαστοι, Χριστοῦ σεπτὰ σφάγια, τῆς Ἐκκλησίας αἱ βάσεις, τῶν εὐσεβῶν τὰ προπύργια, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

**Δόξα... Ἦχος πλ. δ΄.**

Ἀποστολικῶς διαπρέψασα, ἀθλητικὴν ἐπεδείξω ἀνδρείαν, ἐν γυναικείῳ σώματι, Φωτεινὴ Ἰσαπόστολε· τὶς γὰρ οὐκ ἐξίσταται, τοὺς σοὺς ἀγῶνας ἀκούων, καὶ τὰ ὑπὲρ φύσιν παλαίσματα; ξενοπρεπῶς γὰρ ἠρίστευσας, καὶ τῆς δορᾶς τὴν ἀφαίρεσιν, ὥσπερ ἄλλου πάσχοντος ὑπέμεινας, σὺν αὐτῇ ἀπορρίπτουσα, τῆς φθορᾶς τὸ κάλλυμα. Καὶ νῦν τῆς ἀφθαρσίας τὴν στολήν, μεγαλοπρεπῶς ἐνδυσαμένη, σὺν τοῖς συνάθλοις σου πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν... Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι...

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Χριστῷ συνωμίλησας, ἐπὶ τὸ φρέαρ σεμνή, καὶ πίστιν εἰσδέδεξαι, τὴν πρὸς αὐτὸν ἀκλινῶς, Φωτεινὴ Ἰσαπόστολε· ὅθεν τῆς εὐσεβείας, ἐφαπλοῦσα τὸ φέγγος, ἤθλησας ὑπὲρ φύσιν, σὺν υἱοῖς καὶ συγγόνοις· μεθ᾽ ὧν ἀπαύστως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

**Δόξα... Ἕτερον ὅμοιον.**

Τὸ ὕδωρ ὡς ἤντλησας, τῆς αἰωνίου ζωῆς, εὑροῦσα καθήμενον, παρὰ τὸ φρέαρ σεμνή, Χριστὸν τὸν Θεὸν ἡμῶν, λόγοις σου θεηγόροις, καὶ

www.tezaurliturgic.ro

ἐν ἄθλοις ἀνδρείοις, ᾔσχυνας τὴν ἀπάτην, Ἰσαπόστολε Μάρτυς· διό σε Ἀθληφόρε Φωτεινή, ὕμνοις γεραίρομεν.

**Καὶ νῦν Θεοτοκίον.**

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον...

**Ἀπόλυσις.**

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὴν α' Στιχολογίαν. Κάθισμα.**

**Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.**

Ὡς εὗρες τὸν Χριστόν, ἐν τῷ φρέατι Μάρτυς, ἐδέξω παρευθύς, ἀληθείας τὸ φέγγος· ἐντεῦθεν καὶ κατάλληλον, παρ' αὐτοῦ κλῆσιν ἔλαβες, καὶ φῶς ἔλαμψας, ὦ Φωτεινὴ φερωνύμως, θείας χάριτος, τοῖς ἐν νυκτὶ ἀγνωσίας, ἀκτῖσι τῶν λόγων σου.

**Θεοτοκίον.**

Ὡς ἔτεκες Χριστόν, τὸν Δεσπότην τῶν ὅλων, μορφῇ τῇ καθ' ἡμᾶς, ὑπὲρ νοῦν τε καὶ λόγον, ἐθέωσας τὸ φύραμα, τῶν ἀνθρώπων τῷ τόκῳ σου, Ἀπειρόγαμε, Εὐλογημένη Μαρία· ὅθεν ἅπαντες, τὰ παμφαῆ μεγαλεῖα, ὑμνοῦμεν τῆς δόξης σου.

**Μετὰ τὴν β' Στιχολογίαν. Κάθισμα.**

**Ἦχος γ'. Θείας πίστεως.**

Θεῖον ὅμιλον, στερρῶν Μαρτύρων, συνεκρότησας, ἐκ τῶν υἱῶν σου, Φωτεινὴ καὶ τῶν σεμνῶν αὐταδέλφων σου, καὶ σὺν αὐτοῖς τὴν μανίαν τοῦ Νέρωνος, ἀθλητικῶς θριαμβεύσασα ᾔσχυνας· μεθ' ὧν πρέσβευε, δοθῆναι πταισμάτων ἄφεσιν, τοῖς μέλπουσιν ὑμῶν τὴν θείαν ἄθλησιν.

**Θεοτοκίον.**

Φῶς τὸ ἄχρονον, ἀκαταλήπτως, κατεσκήνωσεν, ἐν τῇ γαστρί σου, ὁ Ὑπερούσιος Λόγος καὶ Κύριος, καὶ σαρκωθεὶς ἐξ ἀχράντων αἱμάτων σου, τὴν τοῦ Ἀδὰμ ἁμαρτίαν ἠφάνισε· Κόρη Πάναγνε, ὦ πρέσβευε τοῦ δωρήσασθαι, πταισμάτων ἱλασμὸν τοῖς σὲ δοξάζουσι.

www.tezaurliturgic.ro

**Μετὰ τὸν Πολυέλεον. Κάθισμα.**

**Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.**

Τοῦ φωτὸς τοῦ αὔλου ταῖς ἀστραπαῖς, Φωτεινὴ Ἰσαπόστολε τοῦ Χριστοῦ, ἐνθέως ἐκλάμπουσα, ὡς λαμπὰς φωτοπάροχος, τοὺς ἐν τῇ Καρθαγένῃ, φωτίζεις τῷ λόγῳ σου, καὶ τοῦ Εὐαγγελίου, τοῖς θείοις πυρσεύμασιν· ὅθεν καὶ ἐν Ῥώμῃ γεγονυῖα θεόφρον, μετὰ τῶν οἰκείων σου, οὓς συμμάρτυρας ἔσχηκας, σὺν αὐτοῖς ἠνδραγάθησας· μεθ᾽ ὧν ἀεὶ δυσώπει Χριστόν, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

**Θεοτοκίον.**

Τὸν Ὑπέρθεον Λόγον καὶ Παντουργόν, τὸν συνάναρχον Πνεύματι καὶ Πατρί, ἐν χρόνῳ γεγέννηκας, ἐξ ἀχράντων αἱμάτων σου, μηδόλως τῆς οἰκείας, ἐκστάντα θεότητος, καὶ τοῦ Ἀδὰμ λαβόντα, ἀτρέπτως τὸ φύραμα· ὢ τῶν ὑπὲρ νοῦν σου, μεγαλείων Παρθένε! τὶς νοῦς οὐκ ἐξίσταται, τῷ μεγέθει τῆς δόξης σου; διὰ τοῦτο βοῶμεν σοι· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄφραστον τόκον σου.

**Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου, καὶ τὸ Προκείμενον.**

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...**

**Εὐαγγέλιον κατὰ Ἰωάννην.**

**Τῷ καιρῷ ἐκείνῳ, ἄγουσι τῷ Ἰησοῦ οἱ Γραμματεῖς...**

**Ζήτει αὐτὸ τῇ α΄ Ἀπριλίου.**

**Ὁ Ν΄. Δόξα... Ταῖς τῆς Ἀθληφόρου...**

**Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...**

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

**Στίχ. Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...**

Τῶν Ἀποστόλων συνέκδημος φανεῖσα, κακουχίας καὶ θλίψεις προείλου, ὑπὲρ τῆς δόξης Χριστοῦ, Φωτεινὴ Ἰσαπόστολε· καὶ τὴν κλῆσιν βεβαιοῦσα τῷ τρόπῳ, τὸ φῶς τὸ ἀληθινὸν ἐκήρυξας, καὶ τοῦ φω-

www.tezaurliturgic.ro

τὸς τὰ ἔργα κατήγγειλας, τοῖς ἐν σκότει τῆς πλάνης καθημένοις· διὸ καὶ νομίμως ἀθλήσασα, ἐπαξίως ἐδοξάσθης, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου... Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τῆς Ἁγίας, οὗ ἡ ἀκροστιχίς.**

**«Φῶς μοι Φωτεινὴ παράσχου. Γερασίμου».**

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Φωτί με καταύγασον, τῷ τῆς σῆς δόξης Φιλάνθρωπε, καὶ λόγον παράσχου μοι, τῆς Φωτεινῆς ταῖς λιταῖς, ἵνα Δέσποτα, αὐτῆς τὰς ἀριστείας, ὑμνήσω ὡς ἔνεστι, καὶ τὰ παλαίσματα.

Ὡς εἶδες καθήμενον, ἐπὶ τὸ φρέαρ τὸν Κύριον, αὐτῷ συνωμιλήσας, καθαρωτάτῃ ψυχῇ, καὶ τὸ ἄϋλον, καὶ ζωηφόρον ὕδωρ, πλουσίως εἰσδέδεξαι, ἐν τῇ καρδίᾳ σου.

Σπουδῇ πλείστῃ ἔδραμες, πρὸς τὴν Σιχὰρ καὶ ἐκήρυξας, Χριστοῦ τὴν ἐπέλευσιν, Φωτεινὴ κράζουσα, δεῦτε ἴδετε, τὸν ποθητὸν Μεσσίαν, ἐλθόντα δι᾽ ἔλεος, σῶσαι τὸν ἄνθρωπον.

**Θεοτοκίον.**

Μὴ φλέξας τὴν μήτραν σου, ὁ πῦρ καὶ φῶς πέλων Κύριος, ἐν σοὶ κατεσκήνωσε, καὶ ὤφθη ἄνθρωπος, ἐξ αἱμάτων σου, Παρθένε Θεοτόκε, καὶ κόσμον διέσωσε, τὸν ἀπολλύμενον.

**Καταβασία. Ἀνοίξω τὸ στόμα μου.**

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Οὐράνιον ἔσχηκας αὐτίκα, τὸ φρόνημα λόγοις τοῦ Χριστοῦ, τὴν ἱερὰν ἀλλοίωσιν, ἀλλοιωθεῖσα πάνσεμε, καὶ πάντων κατεφρόνησας, τῶν ἐπὶ γῆς γνώμῃ κρείττονι.

Ἰλύος παθῶν ἀνυψωθεῖσα, Χριστοῦ νύμφη ἐκλεκτή, παρ᾽ οὗ κλῆσιν φωτώνυμον, ὦ Φωτεινὴ κεκλήρωσαι, καὶ φῶς τῷ κόσμῳ ἔλαμψας, τῆς ἀληθοῦς ἐπιγνώσεως.

Θεῷ τῷ σαρκὶ ἐπιφανέντι, Χριστῷ τῷ Σωτῆρι τῶν ψυχῶν, ὡς ἀπαρχὴν εὐπρόσδεκτον, προσάγεις διὰ πίστεως, τοὺς σοὺς υἱοὺς πανεύφημε, καὶ τὰς σεμνὰς αὐταδέλφους σου.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἐτέχθη ἁγνῶν σου ἐξ αἱμάτων, Χριστὸς ὁ τῶν ὅλων Βασιλεύς, ὁ καταυγάσας χάριτι, Ἁγνὴ τὴν Σαμαρείτιδα, καὶ Φωτεινὴν δι' ἔλεος, ταύτην καλέσας Πανάμωμε.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Φωτὶ τοῦ κηρύγματος, τῆς εὐσεβείας σεμνή, ὡς ἄλλη Ἀπόστολος, φωταγωγεῖς τοὺς ἐν γῇ, καὶ ἔργων δυνάμεσιν· ὅθεν τοῦ μαρτυρίου, τοὺς μεγίστους ἀγῶνας, ἤνυσας ἐν τῇ Ῥώμῃ, Φωτεινὴ Ἀθληφόρε· διὸ τῆς ἀφθαρσίας, στεφάνῳ κεκόσμησαι.

Θεοτοκίον.

Φωτὶ τῷ τοῦ τόκου σου, Θεογεννῆτορ Ἁγνή, λαμπρῶς κατηυγάσθησαν, πάντα τὰ ἔθνη τῆς γῆς, καὶ φῶς ἐθεάσαντο, γνώσεως ἀληθείας, καὶ ζωῆς αἰωνίου· ὅθεν σε ὡς αἰτίαν, τῆς βροτῶν σωτηρίας, ὑμνοῦμεν κατὰ χρέος, καὶ πόθῳ γεραίρομεν.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ἴχνεσι τῶν Ἀποστόλων, Φωτεινὴ ἠκολούθησας, καὶ ἐκ Σαμαρείας, ὡς λαμπὰς ἐξῆλθες πολύφωτος, καὶ τὸν τῆς χάριτος λόγον τὸν σωτήριον, ἀνεκήρυξας, μέρεσι πλείστοις καὶ πόλεσι.

Οἱ ἐν πόλει Καρθαγένῃ, διὰ σοῦ ἐθεάσαντο, φῶς Χριστοῦ τὸ μέγα, Φωτεινὴ σοφὴ Ἰσαπόστολε· σὺ γὰρ ἐν ταύτῃ τὸ θεῖον Εὐαγγέλιον, ἀνεκήρυξας, λόγοις καὶ ἔργοις καὶ θαύμασι.

Νύκτα τὴν τῆς ἀθεΐας, φωτοφόρῳ κηρύγματι, Φωτεινὴ μειοῦσα, ἐν τῇ Καρθαγένῃ πανεύφημη, παρὰ Κυρίου ἐδέξω ἀποκάλυψιν, καὶ κατέσπευσας, πρὸς μαρτυρίου τὰ σκάμματα.

Φῶς ἐκλάμπουσα τὸ θεῖον, Φωτεινὴ Ἰσαπόστολε, χαίρουσα ἐπέστης, Μάρτυς ἐν τῇ Ῥώμῃ κηρύττουσα, μεγαλοφώνως Χριστοῦ τὸ μέγα ὄνομα, σὺν τοῖς τέκνοις σου, καὶ ταῖς σεμναῖς αὐταδέλφοις σου.

Θεοτοκίον.

Ὡς παράδεισος εὐώδης, ἀνηρότως ἐβλάστησας, τῆς ζωῆς τὸ

www.tezaurliturgic.ro

ξύλον, Κεχαριτωμένη τὸν Κύριον, ζωοποιοῦντα τοὺς πάλαι ὑποκύψαντας, φθόνῳ ὄφεως, δεινῷ θανάτῳ Πανάμωμε.

Καταβασία. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Τὸν λόγον τῆς πίστεως, τῷ Νέρωνι κηρύξασα, Μάρτυς Φωτεινὴ σὺν τοῖς οἰκείοις, πολλῶν βασάνων πεῖραν ἐλάβετε, καὶ ἐν τῇ δυνάμει τοῦ Χριστοῦ, ἁπάντων ὑπέρτεροι, τῶν δεινῶν ἀνεδείχθητε.

Ἐξέστη ὁ τύραννος, ὁρῶν ἀκμαιοτάτην σε, Μάρτυς Φωτεινὴ σὺν τοῖς συνάθλοις· ὅτι οὐδόλως συντρίψαι ἴσχυσαν, τοὺς ἁρμοὺς τῶν θείων σου χειρῶν, τηρούμενος χάριτι, ἀσινεῖς θείου Πνεύματος.

Ἰδοῦσά σε λάμπουσαν, τῷ φέγγει τῷ τῆς πίστεως, Μάρτυς ἡ θυγάτηρ βασιλέως, τῆς ἀληθείας τὸ φῶς προσέλαβες, μετὰ τῶν δουλίδων ἑαυτῆς, καὶ Χριστῷ νενύμφευται, ψυχικῇ ὡραιότητι.

Θεοτοκίον.

Νομίμων τῆς φύσεως, δίχα Παρθένε τέτοκας, τὸν Θεὸν ἡμῶν καὶ νομοδότην, καὶ μετὰ τόκον ἄφθορος ἔμεινας, καὶ βροτῶν τὴν φύσιν ἐκ φθορᾶς, καὶ δουλείας χείρονος, τοῦ ἀλάστορος ἔσωσας.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ἡ τοῦ Χριστοῦ Ἰσαπόστολος, ἡ ἐκ τῆς Σαμαρείας ἐκλάμψασα, ὡς ἄστρον πάμφωτον, ᾗ ὁ Σωτὴρ συνωμίλησεν, ἡ Φωτεινὴ ὑμνείσθω, ἡ μεγαλώνυμος.

Πυρὸς ὁρμὴν κατεπάτησας, τὸ ὕδωρ τῆς ζωῆς ἔνδον ἔχουσα, καὶ μένεις ἄφλεκτος, σὺν τοῖς συνάθλοις σου ἔνδοξε, τρισὶν ἐπὶ ἡμέραις, ἐν τούτῳ μείνασα.

Ἀδιαλώβητος ἔμεινας, λαβοῦσα δηλητήρια φάρμακα, καὶ τῷ σῷ θαύματι, τὸν γλυκασμὸν τὸν τῆς πίστεως, ἐπότισας τὸν ταῦτα, σοὶ προσενέγκαντα.

Θεοτοκίον.

Ῥεῖθρον ζωῆς ἡ πηγάσασα, Χριστὸν τὸν ζωοδότην κυήσασα, ὑπὲρ

www.tezaurliturgic.ro

κατάληψιν, βλῦσον σταγόνα μοι χάριτος, τῷ σῷ οἰκτρῷ ἱκέτῃ, Παρθένε Ἄχραντε.

**Καταβασία. Τὴν θείαν ταύτην.**

**Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.**

Τοῦ Χριστοῦ τῆς πίστεως τὸ φῶς ἐδέξω, καὶ αὐτοῦ ἐκήρυξας τὴν παρουσίαν ἐν σαρκί, ὦ Φωτεινὴ Ἰσαπόστολε, καὶ μαρτυρίου ἀγῶσι διέλαμψας.

**Ὁ Οἶκος.**

Ὅνπερ ἐκήρυττον Χριστόν, ὁ νόμος καὶ Προφῆται, τοῦτον κατεῖδες ἐπὶ γῆς, ἐν ὁμοιώματι σαρκός, ἡμῖν ἐμφανισθέντα, καὶ εἰσεδέξω παρευθύς, τῆς γνώσεως τῆς ἑαυτοῦ, τὴν θείαν ἀποκάλυψιν· ἐν γὰρ τῷ φρέατι τοῦ Ἰακώβ, εὑροῦσα Χριστὸν τὸν Μεσσίαν, ἐδέξω πλουσίως παρ᾽ αὐτοῦ, τὸ ὕδωρ τὸ ἀλλόμενον, εἰς ζωὴν αἰώνιον· καὶ ἐν τούτου μετέδωκας πρῶτον μὲν πᾶσι τοῖς οἰκείοις σου σεμνή, καὶ εἶτα τοῖς τηκομένοις ἐν δίψει ἀσεβείας, Φωτεινὴ Ἰσαπόστολε ἠγλαϊσμένη· ὅθεν καὶ ἐν Ρώμῃ, μετὰ τῶν υἱῶν σου, καὶ τῶν σῶν ἀδελφῶν περιφανῶς ἀνδραγαθήσασα, Χριστοῦ τὸ μέγα ὄνομα θαυμαστῶς ἐδόξασας, καὶ τὴν δυσσέβειαν ἠμαύρωσας, ὡς ἐν τοῖς τοῦ μαρτυρίου ἀγῶσι διέλαμψας.

**Συναξάριον**

Τῇ κϛ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἁγίας ἐνδόξου Μεγαλομάρτυρος καὶ Ἰσαποστόλου Φωτεινῆς τῆς Σαμαρείτιδος, ᾗ ὡμίλησεν ὁ Χριστὸς ἐν τῷ φρέατι, καὶ τῶν υἱῶν καὶ ἀδελφῶν αὐτῆς.

**Στίχοι**

Ρίπτουσι τὴν σὴν Σαμαρεῖτιν εἰς φρέαρ
Τὴν εἰς φρέαρ σοι συλλαλήσασαν Λόγε.

**Ἕτεροι**

Ἤθλησε στερρῶς Φωτεινὴ σὺν υἱέσι
Καὶ σὺν ἀδελφαῖς αἰσχύνασα τὴν πλάνην.
Εἰκάδα κατὰ ἕκτην Φωτεινῆς ρινὸν λυγρῶς ἔδαρον.

Ταῖς αὐτῆς, καὶ τῶν συναθλησάντων αὐτῇ, πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

www.tezaurliturgic.ro

'Ωδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Ἀκατάφλεκτος, τῇ δρόσῳ τῇ τοῦ Πνεύματος, ὤφθης πανεύφημε, συμφλεγομένη πυρός, λαμπάσι καὶ βράζοντα δεχθεῖσα μόλυβδον, καὶ κατέφλεξας, πυρὶ τῷ τῶν ἀγώνων σου, τὴν τοῦ Νέρωνος μανίαν.

Σθένος ἔνθεον, ἐνδεδυμένη ἄνωθεν, ξέσεις ὑπέμεινας, καὶ καταφλέξεις πικράς, μετὰ τῶν συνάθλων σου, ὡς ἄλλου πάσχοντος, Ἰσαπόστολε βοῶσα ἐν τῷ σκάμματι· ὁ Θεὸς εὐλογητὸς εἶ.

Χορὸν ἅγιον, Μαρτύρων συνεκρότησας, λαμπρῶς συγκείμενον, ἐκ τῶν υἱῶν σου σεμνή, καὶ τῶν ὁμαιμόνων σου, οὓς καὶ ἐπήλειψας, πρὸς τὸ στάδιον, τῆς καρτερᾶς ἀθλήσεως, ὑποδείγματι οἰκείῳ.

Ὄμβροις ἔσβεσαν, αἱμάτων Ἰσαπόστολε, ξίφει τεμνόμεναι, τῆς ἀθεΐας τὸ πῦρ, Φωτὼ ἡ θεόληπτος. Ἀνατολὴ ἡ σεμνὴ καὶ ἡ ἔνθεος, Παρασκευὴ κραυγάζουσαι· ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὑπὲρ ἥλιον, ἡ δόξα ἡ ἀσύγκριτος, τῶν μεγαλείων σου, πᾶσα λαμπρύνει ψυχήν· Θεὸν γὰρ γεγέννηκας, τὸ φῶς τὸ ἄχρονον, ὕλῃ σώματος, φωτίζοντα τοὺς ψάλλοντας· χαῖρε Κεχαριτωμένη.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

'Ωδὴ η'. Παῖδες εὐαγεῖς.

Γνώμῃ ἀνενδότῳ τὸν ἀγῶνα, διήνυσαν οἱ υἱοί σου τῆς ἀθλήσεως, Φωτεινὸς ὁ ἔνδοξος, Ἰωσῆς ὁ πάντιμος, σοῖς λόγοις παιδευόμενοι ἐπὶ τὰ κρείττονα, καὶ ξίφει τὸν αὐχένα τμηθέντες, Φωτεινὴ ἐπάθλων οὐρανίων.

Ἔχουσα τὸ φῶς Χριστοῦ τὸ θεῖον, Φωτὶς ἐν καρδίᾳ ἡ πανεύφημος, μερισμὸν τὸν πάνδεινον, τῆς σαρκὸς ὑπέμεινε, καὶ τὴν τομὴν δὲ ἤνεγκε Κυριακὴ ἐν χαρᾷ, αἱ θεῖαι ἀληθῶς ἀδελφαί σου, Φωτεινὴ θεόφρον, σὺν σοὶ ἀγωνισθεῖσαι.

Ρώμῃ ψυχικῇ καλῶς ἀθλήσας, ὁ Σεβαστιανὸς ὁ ἀεισέβαστος, σέβας τὸ παρόνομον, ᾔσχυνε τοῦ Νέρωνος, καὶ ὤφθη συναρίθμιος καὶ ἰσοστάσιος, τῆς σῆς μαρτυρικῆς συναυλίας, Φωτεινὴ θεόφρον, Μάρτυς ἠγλαϊσμένη.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἄχραντε Παρθένε Θεοτόκε, λυχνία τῆς θείας δόξης ἡ πολύφωτος, τοῦ νοός μου δίωξον, πᾶσαν τὴν σκοτόμαιναν, καὶ τὴν ψυχήν μου λάμπρυνον ταῖς σαῖς λαμπρότησι· σὺ γὰρ ἁμαρτωλῶν σωτηρία, καὶ παντὸς τοῦ κόσμου, προστάτις τε καὶ σκέπη.

**Καταβασία. Παῖδας εὐαγεῖς.**

**Ὠδὴ θ΄. Ἅπας γηγενής.**

Στῖφος εὐκλεές, Μαρτύρων ὡράθητε Φωτεινὴ ἔνδοξε, μετὰ τῶν συνάθλων σου, καταπαλαίσαντες τὸν ἀντίπαλον, καὶ τὴν δορὰν τοῦ σώματος ἀφαιρεθέντες σκληρῶς, ἀφθαρσίας, στολὴν ἐνεδύσασθε, τὸν ἀγῶνα καλῶς διανύσαντες.

Ἴσχυσας σεμνή, ἰσχὺν τὴν τοῦ Πνεύματος ἐν σοὶ πλουτήσασα, γυναικείῳ σώματι, τῶν Ἀποστόλων δρόμον τὸν ἔνθεον, ἀνῦσαι, Ἰσαπόστολε καὶ μαρτυρίου φρικτούς, ὑποστῆναι, πόνους ὡς ἀσώματος, Φωτεινὴ φωτὸς θείου διάκονε.

Μέγιστα τὰ σά, ἐν ἄθλοις παλαίσματα καὶ κατορθώματα, Φωτεινὴ ἐδείχθησαν· ἔνθεν μεγάλων τιμῶν ἠξίωσαι, καὶ δωρεῶν, μειζόνων δὲ λαμπρῶς μετέσχηκας, ἐξ ὧν Μάρτυς, δίδου τοῖς τιμῶσί σε, κοινωνίαν μικρὰν ὡς φιλάγαθος.

Ὅμιλε σεπτέ, Μαρτύρων καὶ ἔνδοξε τοῦ Παντοκράτορος, Ἀθληταὶ ἀήττητοι, ὧν κορυφαία καὶ ἀκροθίνιον, ἡ Φωτεινὴ ἡ πάνσοφος καὶ Ἰσαπόστολος, τὸν μικρόν μου, τοῦτον ὕμνον δέξασθε, καὶ παθῶν μου τὴν ζάλην πραΰνατε.

Θεοτοκίον.

Ὕμνησαν τὸν σόν, οὐράνιοι Ἄγγελοι τόκον ἀπόρρητον, καὶ τῆς γῆς τὰ πέρατα, τὸ ἐκ σοῦ λάμψαν φῶς ἐθεάσαντο, καὶ τέκνα φωτὸς ὤφθησαν, πίστει καὶ χάριτι, ἀνυμνοῦντες, σὲ τὴν ὑπερύμνητον, τὴν τεκοῦσαν Χριστὸν τὸν Θεὸν ἡμῶν.

**Καταβασία. Ἅπας γηγενής.**

**Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.**

Φωτὸς τοῦ θείου πάνσεμνε, Φωτεινὴ πληρωθεῖσα, φῶς εὐσεβείας

www.tezaurliturgic.ro

ἔλαμψας, τοῖς ἐν σκότει τῆς πλάνης, κηρύγματι φωτοφόρῳ, καὶ θαυμάτων ἀκτῖσι, καὶ ἀνδρικῶς ἀθλήσασα, πρὸς τὸ φῶς τὸ ἀνέσπερον τοῦ Χριστοῦ, ἐν χαρᾷ ἀνέδραμες νικηφόρος, ὑπὲρ ἡμῶν πρεσβεύουσα, τῶν τιμώντων σε Μάρτυς.

**Θεοτοκίον.**

Φωτὸς ἀΰλου σκήνωμα, φωτοτόκε Παρθένε, ἡ ἀπορρήτως τέξασα, ἐν μορφῇ ἀνθρωπίνῃ, τὸν φῶς ἀπρόσιτον ὄντως, κατοικοῦντα Δεσπότην, τὸν νοῦν μου φωταγώγησον, φωτοφόρῳ σου αἴγλῃ ὡς συμπαθής, καὶ τῶν παθῶν ἀπέλασον τὴν σκοτίαν, περικυκλοῦσαν πάντοτε, τὴν ἀθλίαν ψυχήν μου.

**Εἰς τοὺς Αἴνους.**

**Ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Τὴν Ἰσαπόστολον πάντες Χριστοῦ τιμήσωμεν, τὴν ἐκ τῆς Σαμαρείας, ὡς λαμπάδα ἁγίαν, ἐκλάμψασαν τῷ κόσμῳ ἔργοις φωτός, Φωτεινὴν τὴν πανένδοξον· ἀθλητικῶς γὰρ καθεῖλε τὸν δυσμενῆ, καὶ Χριστὸν λαμπρῶς ἐδόξασε.

Ἐπὶ τὸ φρέαρ κατεῖδες Χριστὸν τὸν Κύριον, καὶ παρ᾽ αὐτοῦ τὸ ὕδωρ, τῆς ζωῆς ποτισθεῖσα, πᾶσι τοῖς οἰκείοις σου ἐξ αὐτοῦ, Φωτεινὴ μεταδέδωκας, καὶ τοῖς ἐν κόσμῳ ἐπήγασας δαψιλῶς, τὰ τῆς χάριτος διδάγματα.

Τῆς εὐσεβείας τὸν λόγον σαφῶς κηρύττουσα, μαρτυρικοὺς ἀγῶνας, ἐν τῇ Ῥώμῃ ἀνύεις, σὺν τοῖς διττοῖς υἱοῖς σου καὶ ταῖς σεμναῖς, Φωτεινὴ αὐταδέλφοις σου, μεθ᾽ ὧν δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν ὑμνούντων σου τὴν ἄθλησιν.

Τὴν σὴν φερώνυμον κλῆσιν ἐπισφραγίζουσα, φωτὸς ἐκλάμπεις πᾶσι, τοῦ ἀΰλου τὴν χάριν, καὶ σκότος ἀπελαύνεις πόνων πικρῶν, Φωτεινὴ Ἰσαπόστολε, τῶν προστρεχόντων ἐν πίστει εἰλικρινεῖ, τῇ φωσφόρῳ ἀντιλήψει σου.

**Δόξα... Ἦχος πλ. α΄.**

Τὸ φῶς τὸ ἀληθινόν, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐπειλημμένον βροτείας φύσεως, ἠξιώθης θεάσασθαι, Φωτεινὴ Ἰσαπόστολε· ᾧ καὶ συν-

www.tezaurliturgic.ro

ομιλήσασα, τὴν θεϊκὴν ἀποκάλυψιν ἐδέξω, καὶ τῆς ἀληθοῦς γνώσεως, τὰ ἀγαθὰ ἐθησαύρισας. Ὅθεν Ἀποστολικῇ πορείᾳ, ὧν περ μετέσχες δωρεῶν τὴν χάριν ἐκλάμπουσα, μαρτυρικοῖς ἄθλοις ἠρίστευσας, σὺν πᾶσι τοῖς οἰκείοις, περιφανῶς ἀγωνισαμένη. Μεθ' ὧν τῆς ἄνω τρυφῶσα δόξης, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν... Θεοτοκίον.**

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρητον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία μεγάλη καὶ ἀπόλυσις.**

## ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

**Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἁγίας ἡ γ' καὶ ςτ' Ὠδή.**

**Ἀπόστολος.**

**Προκείμενον. Ἦχος δ'.**

**Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

**Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.**

Ἀδελφοί, ἔχοντες τὴν διακονίαν ταύτην...

**Ζήτει αὐτὸν τῇ Πέμπτῃ τῆς ια' Ἑβδομάδος.**

**Εὐαγγέλιον τὸ τῆς Κυριακῆς τῆς Σαμαρείτιδος.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...**

**Μεγαλυνάριον.**

Χαίροις Ἰσαπόστολε Φωτεινή, ἡ ζωὴ τὸ ὕδωρ, δεξαμένη παρὰ Χριστοῦ· χαίροις ἡ ἐν Ρώμῃ, ἀθλήσασα ἀνδρείως, σὺν πᾶσι τοῖς οἰκείοις Χριστὸν δοξάσασα.

**Ἐὰν ἡ ἑορτὴ τῆς Ἁγίας Φωτεινῆς συμπέσῃ τῇ Μεγάλῃ Τεσσαρακοστῇ, τότε τελοῦμεν Προηγιασμένην, κατὰ τὴν συνήθη τάξιν, ἤτοι: Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τά, Πρὸς Κύριον. Εἰς δὲ τό, Κύριε ἐκέ-**

www.tezaurliturgic.ro

**κραξα, ἱστῶμεν στίχους ι΄, καὶ ψάλλομεν τὸ Ἰδιόμελον τοῦ Τριῳδίου δίς, τὸ Μαρτυρικόν, τὰ γ΄ Προσόμοια, καὶ εἶτα τῆς Ἁγίας τὰ ἑξῆς δ΄.**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Ὅτε ἐν τῷ φρέατι σεμνή, εὗρες τὴν ζωὴν τῶν ἁπάντων, Χριστὸν τὸν Κύριον, τότε τὸ ζωήρρυτον ὕδωρ ἐξήντλησας, ἐξ αὐτοῦ ἐν ἀντλήματι, πίστεως τελείας, καὶ τῷ κόσμῳ ἔβλυσας, ζωῆς διδάγματα· κήρυξ γὰρ αὐτοῦ ἀνεδείχθης, φέγγει φωτισθεῖσα ἀΰλῳ, Φωτεινὴ θεόφρον Ἰσαπόστολε.

Ὅτε τῷ τῆς πίστεως φωτί, τοὺς ἐν Καρθαγένῃ θεόφρον, λαμπρῶς ἐφώτιζες, τότε ἀποκάλυψιν θείαν εἰσδέδεξαι, Φωτεινὴ Ἰσαπόστολε, καὶ πρὸς τοὺς μεγίστους, πόνους τῆς ἀθλήσεως, χαίρουσα ἔσπευσας, ἅμα σὺν ταῖς αὐταδέλφοις, καὶ τοῖς θεολήπτοις υἱοῖς σου, μεθ᾽ ὧν ἠγωνίσω καρτερώτατα.

Ὅτε τὴν τοῦ σώματος δοράν, Μάρτυς ἀπηνῶς ἀφῃρέθης, σὺν τοῖς συνάθλοις σου, τότε τὴν εὐπρέπειαν δόξης τῆς κρείττονος, ἐνεδύσω λαμπρότατα, καὶ τῆς ἀφθαρσίας, τὴν μεγαλοπρέπειαν, ἐδέξω ἄνωθεν. Ὅθεν τὸν Χριστὸν ἐκδυσώπει, Φωτεινὴ φωτίζεσθαι πάντας, τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

Δῆμος Ἀθλητῶν περιφανής, ὤφθητε ἀθλήσαντες ἅμα, ὑπὲρ τῆς δόξης Χριστοῦ, Φωτεινὴ θεόσοφε Παρασκευὴ καὶ Φωτώ, Ἰωσῆ παναοίδιμε, Κυριακὴ θεία, Φωτεινὲ Φωτὶς ὁμοῦ, Ἀνατολὴ ἡ σεμνή, Σεβαστιανὸς ὁ θεόφρων· ὅθεν ὑμᾶς μέλπομεν πόθῳ, ὡς ἡμῶν Χριστῷ πρεσβεύοντας.

**Δόξα... Ἦχος πλ. β΄.**

Μαρτυρικὴν χορείαν ὑπέρλαμπρον, περιφανῶς συνεκρότησας, Φωτεινὴ Χριστοῦ Ἰσαπόστολε, καὶ Μάρτυς ἠγλαϊσμένη· τὸ γὰρ ὕδωρ τῆς ζωῆς ἐπότισας, τοὺς σοὺς οἰκείους, σὺν ταῖς αὐταδέλφοις τοὺς διττοὺς υἱούς σου, οὓς καὶ συναθλητὰς ἔσχηκας, ἐν τῷ καλῷ τῆς πίστεως ἀγῶνι· μεθ᾽ ὧν ὑπερφυῶς ἀθλήσασα, θεοπρεπῶς ἐδοξάσθης, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν... Θεοτοκίον.**

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν

www.tezaurliturgic.ro

τῆς ζωῆς· σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τῶν Ἀθλοφόρων, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, Φῶς ἱλαρόν, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Τριῳδίου. Εἶτα τό, Κατευθυνθήτω, καὶ εὐθὺς ὁ Ἀπόστολος τῆς Ἁγίας, τὸ Εὐαγγέλιον αὐτῆς, καὶ καθεξῆς ἡ θεία Λειτουργία τῶν Προηγιασμένων.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...**

**Δίστιχον**

**Φωτί σου με φώτισον Φωτεινὴ Μάρτυς.**
**Γεράσιμον μέλποντα τὴν ἄθλησίν σου.**

